# ΙΩΑΝΝΟΥ Α

Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν 1 J 1,1.14.
τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες
ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς, —
καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρ- 2 J 1,4.
τυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν
αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη
ἡμῖν, — ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλ- 3
λομεν καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε
μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ
τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χρι-
στοῦ. καὶ ταῦτα γράφομεν ἡμεῖς ἵνα ἡ χαρὰ 4 J 15,11; 16,24.
ἡμῶν ᾖ πεπληρωμένη.

Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ' 5 Jc 1,17.
αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς
ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.
Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ 6 2,4. J 3,21.
καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα καὶ
οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ 7 H 9,14. Ap 1,5; 7,14.
περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινω-
νίαν ἔχομεν μετ' ἀλλήλων καὶ τὸ αἷμα Ἰησοῦ τοῦ
υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.
ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς 8
πλανῶμεν καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. ἐὰν 9 Prv 28,13.

---

1,1.3 T ζωης· και ... εφ. ημιν· ο 4 𝔥 υμων 5 W Καί ἐστιν | H ουκ εστιν εν αυτω ουδεμ.

---

1,2 εωρακ. : pr ὃ 3 — και 2° 4 ημεις : υμιν | fin + εν ημιν vl εν υμιν 5 επαγγελια 7 αλληλ. : αυτου | Ιησου Χριστου

ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστιν καὶ
δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ
10 ἡμᾶς ἀπὸ πάσης ἀδικίας. ἐὰν εἴπωμεν ὅτι οὐχ
ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν καὶ ὁ λόγος
R 8,34. H 7,25. 2 αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν. Τεκνία μου, ταῦτα
γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε. καὶ ἐάν τις ἁμάρτῃ,
παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν
Kol 1,20. 2 Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ
τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ
3 μόνον ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. καὶ ἐν
τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς
1,8. 4 ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων ὅτι Ἔγνωκα
αὐτόν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης
J 14,21.23. 5 ἐστίν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν· ὃς δ'
5,3. ἂν τηρῇ αὐτοῦ τὸν λόγον ἀληθῶς ἐν τούτῳ ἡ
ἀγάπη τοῦ θεοῦ τετελείωται. Ἐν τούτῳ γινώ-
J 13,15. 6 σκομεν ὅτι ἐν αὐτῷ ἐσμεν· ὁ λέγων ἐν αὐτῷ
μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ
αὐτὸς περιπατεῖν.
J 13,34. 7 Ἀγαπητοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν,
Mt 5,17. ἀλλ' ἐντολὴν παλαιὰν ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ
ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε.
R 13,12. 8 πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς
J 13,34. ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται
4,20. 9 καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. Ὁ λέγων
ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν
R 14,13.15. 10 ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. ὁ ἀγαπῶν τὸν
ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον
J 12,35. 11 οὐκ ἔστιν ἐν αὐτῷ· ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ
ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ,

---

**2**,*1* H *πατερα Ιησ.* *2* **h** *μονων* *5* **W** *ἐν* **et** *εσμεν.* *6 αυτος* : T+ *ουτως* *10* ℌW *εν αυτω ουκ εστιν*

---

**2**,*4* — *οτι* | — *και* (*2°*) *rl* — *εν τουτω* | *αληθεια* : + *του θεου* *7 αγαπ.* : *αδελφοι* | fin + *απ αρχης* *8 υμιν 2°* : *ημιν* | *σκοτια* : *σκια*

*καὶ οὐκ οἶδεν ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσεν*
*τοὺς ὀφθαλμοὺς αὐτοῦ. Γράφω ὑμῖν, τεκνία,* 12 1 K 6,11.
*ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα*
*αὐτοῦ. γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν* 13 1,1. J 1,1.
*ἀπ' ἀρχῆς. γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενική-*
*κατε τὸν πονηρόν. ἔγραψα ὑμῖν, παιδία, ὅτι* 14 E 6,10.
*ἐγνώκατε τὸν πατέρα. ἔγραψα ὑμῖν, πατέρες,*
*ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑμῖν νεα-*
*νίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ θεοῦ ἐν*
*ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν. Μὴ* 15 Jc 4,4.
*ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν*
*τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ*
*πατρὸς ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ* 16 Prv 27,20. Jc 4,16.
*ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφ-*
*θαλμῶν καὶ ἡ ἀλαζονία τοῦ βίου, οὐκ ἔστιν ἐκ*
*τοῦ πατρός, ἀλλὰ ἐκ τοῦ κόσμου ἐστίν. καὶ ὁ* 17 Mt 7,21.
*κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ*
*ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.*

*Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκού-* 18 Mt 24,5.24. 1 P 4,7.
*σατε ὅτι ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι* 1 K 10,11.
*πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη*
*ὥρα ἐστίν. ἐξ ἡμῶν ἐξῆλθαν, ἀλλ' οὐκ ἦσαν ἐξ* 19 Act 20,30. 1 K 11,19.
*ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν*
*μεθ' ἡμῶν· ἀλλ' ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν*
*πάντες ἐξ ἡμῶν. καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ* 20 27. 1 K 2,15.
*τοῦ ἁγίου, καὶ οἴδατε πάντες. οὐκ ἔγραψα ὑμῖν* 21
*ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε*
*αὐτήν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ*

---

*14* H [*του θεου*] *16* RW *αλαζονεια* *17* H [*αυτου*] | *αιωνα* : h^r + quomodo [et] ille manet in aeternum *19* HW *ει γαρ εξ ημων ησαν* *20* H *αγιου·* | *Ꝁ*— *και* 2° | *παντες* (*Ꝁ*—) : hR *παντα*.

*12 παιδια* *13 τον* 2° : *το* *14 εγραψα* 1° : *γραφω* | *τον* 2° : *το* *15 πατρος* : *θεου* *18 ο αντιχριστος*

22 ἐστιν. Τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνού-
μενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός
ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ
1,15. J 5,23. 23 τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν
πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα
7. 24 ἔχει. ὑμεῖς ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἐν ὑμῖν μενέτω.
ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε, καὶ
25 ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε. καὶ
αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο
26 ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον. Ταῦτα
20. J 14,26; 16,13. 27 ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. καὶ
Jr 31,34. ὑμεῖς τὸ χρῖσμα ὃ ἐλάβετε ἀπ᾽ αὐτοῦ μένει ἐν
ὑμῖν, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς·
ἀλλ᾽ ὡς τὸ αὐτοῦ χρῖσμα διδάσκει ὑμᾶς περὶ
πάντων, καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος.
3,2; 4,17. 28 καὶ καθὼς ἐδίδαξεν ὑμᾶς μένετε ἐν αὐτῷ. Καὶ
νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ἐὰν φανερωθῇ
σχῶμεν παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ
3,7.10. 29 ἐν τῇ παρουσίᾳ αὐτοῦ. ἐὰν εἰδῆτε ὅτι δίκαιός
ἐστιν, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην
ἐξ αὐτοῦ γεγέννηται.
5,20. J 1,12.13. 3 Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ
J 16,3. ἵνα τέκνα θεοῦ κληθῶμεν, καί ἐσμεν. διὰ τοῦτο
ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν.
2,28. R 8,17. 2 Ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανε-
2 K 3,18. ρώθη τί ἐσόμεθα. οἴδαμεν ὅτι ἐὰν φανερωθῇ
Ph 3,21. Kol 3,4. Ex 34,29. ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς
3 ἐστιν. καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ᾽
αὐτῷ ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστιν.

---

*24 εν 4°* : [H]—W *27* hT *υμας,* | *αλλ ως* : h *αλλα (.... ψευδος·)* *29 πας* : h[R]TW pr *και* 3,*1* TW *καὶ ἐσμέν.*

*23 — ο ομολογ.... εχει* *24 υμεις 1°* : + *ουν* *25 ημιν* : *υμιν* *27 χαρισμα bis* | *αυτου 2°* : *αυτο* | — *και 5°* | *μενειτε* *28 οταν* | *εχωμεν* 3,*1 ημιν* : *υμιν* | — *και εσμεν* | *ημας* : *υμας* *2 οιδ. δε*

Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, 4 Mt 7,23.
καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε ὅτι 5 Is 53,4.5.9.
ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἄρῃ, καὶ 1 P 2,24.
ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. πᾶς ὁ ἐν αὐτῷ μέ- 6 R 6,14.
νων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν
αὐτὸν οὐδὲ ἔγνωκεν αὐτόν. Τεκνία, μηδεὶς πλα- 7 2,29.
νάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός
ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· ὁ ποιῶν τὴν 8 J 8,44.
ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς
ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ
υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.
Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ 9 6. 5,18.
ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ
δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται.
ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ 10
τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιο-
σύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν
τὸν ἀδελφὸν αὐτοῦ. ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν 11 J 13,34.
ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους·
οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν 12 Gn 4,8.
τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐ-
τόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ
ἀδελφοῦ αὐτοῦ δίκαια.

Μὴ θαυμάζετε, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσ- 13 Mt 5,11. J 15,18.19.
μος. ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ 14 2,11. J 5,24.
θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελ-
φούς· ὁ μὴ ἀγαπῶν μένει ἐν τῷ θανάτῳ. πᾶς 15 Mt 5,21.22.
ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν, J 8,44.
καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν
αἰώνιον ἐν αὐτῷ μένουσαν. Ἐν τούτῳ ἐγνώκαμεν 16 J 15,13.

---

*7* τεκνια : h παιδια *10* fin W, *12* H Καιν *13* T Και μη *15* αυτου : h εαυτου | αυτω : hT εαυτω

---

*5* αμαρτ. : + ημων *8* ο δε π. *10* ποιων δικ. : ων δικαιος *11* επαγγελια *13* αδελφ. : + μου *14* αδελφ. : + ημων | αγαπων : + τον αδελφον

τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν
αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν
4,20. Dt 15,7. 17 ἀδελφῶν τὰς ψυχὰς θεῖναι. ὃς δ' ἂν ἔχῃ τὸν
βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ
χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ'
αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ;
Jc1,22; 2,15.16. 18 Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλὰ
19 ἐν ἔργῳ καὶ ἀληθείᾳ. [καὶ] ἐν τούτῳ γνωσόμεθα
ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ
20 πείσομεν τὰς καρδίας ἡμῶν ' ὅτι ἐὰν καταγινώσκῃ
ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς καρ-
R 5,1.2. H 4,16. 21 δίας ἡμῶν καὶ γινώσκει πάντα. Ἀγαπητοί, ἐὰν
ἡ καρδία μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχο-
Mc 11,24. 22 μεν πρὸς τὸν θεόν, καὶ ὃ ἐὰν αἰτῶμεν λαμβά-
νομεν ἀπ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν
J 6,29; 15,17. 23 καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. καὶ αὕτη
ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύωμεν τῷ ὀνόματι
τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν
4,13. R 8,9. 24 ἀλλήλους καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν. καὶ ὁ
τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς
ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν
ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

1 Th 5,21. Mt 7,15. 4 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ
δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν,
ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν
1 K 12,3. 2 κόσμον. Ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ
θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν
2,18. J 8,47. 3 σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶν

---

18 W ἀλλ' εργω 19 [και] : T—HW | HW την καρδιαν | ημων : T·W, 20 οτι 1^o^ : R ο τι 21 καρδια : T+ ημων | HW— ημων 22 H αν 23 ℌW πιστευσωμεν 4,2 h εληλυθεναι

---

16 τιθεναι 17 μενεῖ 18 —τη | — εν 19 γινωσκομεν 20 — οτι 2^o^ 21 αγαπ. : αδελφοι 22 απ : παρ 23 — ημιν 4,2 γινωσκεται

πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν ἐκ τοῦ θεοῦ
οὐκ ἔστιν· καὶ τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου, ὃ
ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν
ἤδη. Ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστε, τεκνία, καὶ 4
νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν
ἢ ὁ ἐν τῷ κόσμῳ. αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· 5 J 15,19.
διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ κόσμος
αὐτῶν ἀκούει. ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν· ὁ γι- 6 J 8,47.
νώσκων τὸν θεὸν ἀκούει ἡμῶν, ὃς οὐκ ἔστιν ἐκ
τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν
τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς
πλάνης.
Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη 7 2,29.
ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ
θεοῦ γεγέννηται καὶ γινώσκει τὸν θεόν. ὁ μὴ 8
ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεὸς ἀγάπη
ἐστίν. ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ 9 J 3,16.
ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλ-
κεν ὁ θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι' αὐτοῦ.
ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπή- 10 2,2.
σαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς
καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν
ἁμαρτιῶν ἡμῶν. Ἀγαπητοί, εἰ οὕτως ὁ θεὸς 11 Mt 18,33.
ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους
ἀγαπᾶν. θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγα- 12 J 1,18.
πῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ
ἀγάπη αὐτοῦ τετελειωμένη ἐν ἡμῖν ἐστιν. ἐν 13 3,24. R 5,5.
τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς
ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν
ἡμῖν. καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι 14 J 3,17.

---

*3 μη ομολογει* : h *λυει* *10* ℵW *ηγαπηκαμεν*

---

*3 Ιησ. : + κυριον (vl Χριστον) + εν σαρκι εληλυθοτα 6 — ος ... ημων | εκ. τ. : εν τουτω 7 ο αγ. : + τον θεον 8 ου γινωσκει 10 εκεινος | απεσταλκεν 13 εδωκεν 14 εθεασαμεθα*

ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.
5,5. 15 ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ
θεοῦ, ὁ θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ
8. 16 θεῷ. καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν
τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. Ὁ θεὸς
ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ
2,28. 17 μένει καὶ ὁ θεὸς ἐν αὐτῷ μένει. Ἐν τούτῳ τε-
τελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παρρησίαν
ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς
ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ.
18 φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία
ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλα-
σιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ
19 ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν, ὅτι αὐτὸς πρῶτος
20 ἠγάπησεν ἡμᾶς. ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν
θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν·
ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν,
τὸν θεὸν ὃν οὐχ ἑώρακεν οὐ δύναται ἀγαπᾶν.
Mc 12,29–31. 21 καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ
ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.
4,15.16. 1 P 1,22.23. 5 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς
ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν
γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.
2 ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ
θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς
J 14,15.23.24. 3 αὐτοῦ ποιῶμεν. αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ
Mt 11,30. θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ
J 16,33. 4 ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν, ὅτι πᾶν τὸ γεγεν-
νημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη

---

15 HW εαν | Ιησους : H+ [Χριστος] 16 μενει 2° : [H] 18 W αλλα 5,1 HW— και 2° 3 fin R.

15 ομολογη | Ιησους : + Χριστος 16 πιστευομεν 17 εσομεθα 19 αγαπ. : pr ουν : + τον θεον vl αυτον | αυτος : ο θεος 20 ου : πως 21 απο του θεου 5,1 τον 2° : το 2 τηρωμεν

ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις
ἡμῶν. τίς ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ 5 4,4.
πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὗτός 6 J 19,34.35.
ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς
Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ
ὕδατι καὶ ἐν τῷ αἵματι· καὶ τὸ πνεῦμά ἐστιν τὸ
μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. ὅτι 7
τρεῖς εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα καὶ τὸ 8
ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.
εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, 9 J 5,32.36.
ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη
ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ, ὅτι μεμαρτύρηκεν
περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν 10 R 8,16.
τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ. ὁ μὴ 1 K 15,15.
πιστεύων τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι
οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρη-
κεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ αὕτη ἐστὶν 11
ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεός,
καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. ὁ ἔχων 12
τὸν υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ
θεοῦ τὴν ζωὴν οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν 13
ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον, τοῖς πιστεύου-
σιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. Καὶ αὕτη 14 3,21.22.
ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν J 14,13.
τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ ἀκούει ἡμῶν.

---

5 εστιν 1° : [H] W+ δε  6 αιματος : h[r]+ και πνευματος | Χριστος : W pr ο | h μονω | το πνευμα 2° : h[r] Christus  7 το πν. κ. το υδ. κ. το αιμα : h[r] in terra, spiritus [et] aqua et sanguis, et hi tres unum sunt in Christo Jesu: et tres sunt qui testimonium dicunt in caelo, Pater Verbum et Spiritus  10 ℜ εν αὐτω | τω θεω : h[s] τω υιω vl Jesu Christo vl —  11 HW ο θεος ημιν

---

4 ημων : υμων  5 τις δε  6 αιματος : πνευματος  9 οτι 2° : ην  10 μαρτ. 1° : + του θεου | ουκ επιστευσεν  13 υμιν : + τοις πιστευουσιν εις το ονομα του υιου του θεου | τοις πιστ. : οι πιστευοντες vl και ινα πιστευητε  14 ο τι αν αιτ. | θελ. : ονομα

15 *καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἐὰν αἰτώμεθα,*
*οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν ἀπ'*
Mt 12,31. H 6,4–6. 16 *αὐτοῦ. Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτά-*
*νοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ*
*δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσιν μὴ πρὸς*
*θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ*
17 *ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. πᾶσα ἀδικία ἁμαρ-*
*τία ἐστίν, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.*
3,9. J 17,15. 18 *Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ*
*ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ*
G 1,4. J 8,47. 19 *αὐτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. οἴδαμεν*
*ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν*
J 17,3. R 9,5. 20 *τῷ πονηρῷ κεῖται. οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ*
*θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσ-*
*κομεν τὸν ἀληθινόν· καί ἐσμεν ἐν τῷ ἀληθινῷ,*
*ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ*
1 K 10,14. 21 *ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος. Τεκνία, φυλά-*
*ξατε ἑαυτὰ ἀπὸ τῶν εἰδώλων.*

---

*15* R *αν* (2⁰) *16* W *εἰδῇ* *18* W *αλλα* | *αυτον*: W *εαυτον* *20* W *γινωσκωμεν* | h *αληθινον,* | TW *καὶ ἐσμὲν* (W *-μέν*) | *Χριστω* : W·

*15 απ : παρ* *16* fin + *τις* *17* — *ου* *20 (και) οιδαμεν οτι* | *τον : το* | *αληθ.* : + *θεον* | — *Ιησ. Χρ.* *21 εαυτους* | fin + *αμην*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`